ἀόριστοι. (Ἱερώνυμος στρατηγὸς Ἀθηναίων. Ἕτερος δέ ἐστιν Ἱερώνυμος Μεγαπολίτης οὗ
μνημονεύει Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. Ἱερώσυνα· τὰ εἰωθότα δίδοσθαι ἱερὰ ἐξαίρετα
τοῖς ἱερεῦσιν ἐπὶ τιμῇ τῆς ἱερωσύνης. Ἱεροφάντιδες αἱ τὰ ἱερὰ φαίνουσαι τοῖς μυουμένοις.
Ἱεροφάντης· μυσταγωγὸς ἱερεύς. Ἱεροφάντης οὕτως ὀνομάζεσθαι φησὶ τὸν πρῶτον ἱεροφάν-
την τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἀπιόντα τὰ ἱερά. Ἱεροφωνῶν· μεγαλοφωνῶν. ἱερῷ
θείῳ, ἤτοι μεγάλῳ. Ἱερῶσθαι φησὶ Θουκυδίδης νομίσαντες κατὰ δή τινα παλαιὰν αἰτίαν
οὐ καθαροὺς ὄντας ἱερῶσθαι. Σημαίνει γὰρ τὸ ἱερὸν νενομίσθαι καὶ οἷον καθιερῶσθαι. Ἵεσαν·
ἐπροθυμοῦντο, ἐπορεύοντο. Ἵεται· προθεῖ(?), ἰσχὺς ἢ πορεία. Ἴθματα· ἴχνη, βήματα, διαβήματα,
ὁρμάς. Ἴθορος· παροιμιῶδες ἐπὶ τῶν παρακελευομένων. Ἰθὺ καὶ ἰθύς, ἐπ' εὐθείας. Ἴθυμβος·
ᾠδὴ μακρὰ καὶ ὑπόκενος Ἡσύχ.(?) Ἰθύνει· διοικεῖ, κατευθύνει, ὀρθοῖ. Ἰθυντής· ὁδηγός, κυβερνή-
της, χαλινός, πηδάλιον. Ἴθυσεν· ἐπ' εὐθείας ὥρμησεν. Ἰθυτενεῖς· εἰς εὐθεῖαν τεταμένον. Ἰθύ-
φαλλοι οἱ ἐπίορκοι (v. Suid.) καὶ ἀκολουθοῦντες τῷ φαλλῷ γυναικείαν στολὴν ἔχοντες. λέγε-
ται δὲ φαλλὸς ὅτε μὲν καὶ τὸ αἰδοῖον καὶ ποιήματα δὲ καλεῖσθαι τὰ ἐπὶ τῷ ἱσταμένῳ φαλ-
λῷ ᾄδεται. Ἰθύφαλλοι οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι. Ποιήματα δέ τινα οὕτω
λέγεται τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα, ἐλέγετο δὲ κυρίως ἰθύφαλλος τὸ τεταμένον αἰδοῖον.
Ἱκάνειν· παραγίνεται. Ἰκάριος δῆμος φυλῆς τῆς Αἰγηΐδος (καὶ Ἰκάριοι οἱ αὐτοί). Ἴκελον·
ὅμοιον. Ἱκέσθαι· παρεγένοντο. Ἱκέτω· παραγενέσθω. Ἱκετηρία· Αἰσχίνης ἐν τῇ ἀπολογίᾳ·
ἱκετηρία καλεῖται ἐλαίας στέμματι ἐστεμμένος. Ἱκνοῦμαι· εὔχομαι, ἱκετεύω. Ἱκνούμενοι·
παρακαλῶν. Ἵκοντο· παρεγένοντο. Ἴκρια· ὀρθὰ ξύλα x ἢ οἷον δόματα τῆς νεώς. Ἴκρια τὰ — ἢ σανιδώματα Hes. Suid.
ἐν τῇ ἀγορᾷ ἀφ' ὧν ἐθεῶντο τοὺς Διονυσιακοὺς ἀγῶνας, πρὶν ἢ κατασκευασθῆναι τὸ
ἐν Διονύσου θέατρον. Ἴκταρ· ἐγγύς, εἴρηται παρὰ τὸ ἐφικνεῖσθαι, οὕτως Πλάτων. Ἴκ-
τερος λέγεται εἶναι πόνος ὠχρώδης ἀπὸ θυμοῦ ἐγειρόμενος, ὥστε τοὺς ὀφθαλμοὺς τῶν
κεκρατημένων ὠχροὺς καὶ μέλανας ποιεῖν, ὡς καὶ τῶν ἰκτίνων ἀφ' οὗ καλεῖται. Ἰλαδόν·
ἐν ἀθροίσει, κατὰ ἴλας. δηλοῖ δὲ καὶ τὸ δασύ(?). Ἱλαπινάζω· εὐωχοῦμαι. Ἱλαπίνας· θυσίας,
ἑορτάς, εὐωχίας. Ἴλας· ἀγέλας ἢ τάξεις, καὶ ἰλάρχας ταξιάρχας. Ἱλασμός· εὐμενὴς πραΰ-
τατος, συγχώρησις. Ἱλαστήριον· θυσιαστήριον. Ἰλεός(?)· κατάδυσις θηρίου. (Ἵλεω· ἱλασμόν.
Ἵλεως· ἱλαρὸς καὶ εὔθυμος. Ἱλεωτήριον· ἱλαστήριον. Ἰλιὰς κακῶν· ἀπὸ παροιμίας
τοῦτο ἐλέγετο ἐπὶ τῶν μεγάλων κακῶν. Ἰλιγγιᾷ· ὅταν περὶ τὴν καρδίαν στρόφος — x σκότος. S.
γένηται ἐπακολουθεῖ x κότος. καὶ τοῦτο λέγουσιν ἴλιγγον. (Ἴλιον, τὸ ἐφήβαιον) Ἰλισσὸς
ποταμὸς ἐν τῇ Ἀττικῇ (ἴλλειν, συνέχειν) Ἰλλόν· στρεβλόν, στραβόν. Ἰλλωπτεῖν· ἐμ-
βλέπειν, ἐπὶ μύουσι καὶ ἐγκεκλασμένοις ὀφθαλμοῖς. Ἰλλωπτεύει(?)· στραβίζει). Ἰλὺς βόρ-
βορος. Ἰλυσπῶντες· συνειλούμενοι ἢ τὴν ἰλὺν σπώμενοι. Ἱμᾶν καὶ ἱμῶν· ἀντλεῖν, ἀν-
έλκειν, ἀνασπᾶν. Ἱμᾶν τὸ ἀνασπᾶν· τὸ γὰρ παλαιὸν ἱμάντας ἐνδησάμενοι ἀνίμων
ἢ καθίμων. (Ἱμάντας τοὺς τῶν ἰσίων(?) Ἀρισταγόρας) Ἱμάντες· λῶροι, δεσμοί. Ἱμαν-
τώσεις· δέσεις ξύλων ἐμβαλλομένων ἐν τοῖς οἰκοδομήμασιν. Ἱμασιολός(?), ἡ ἐπιμύλιος ᾠ-
δή. Ἴμβριοι· οἱ τὰς δίκας ὑποφεύγοντες, ἐπειδὴ ἐσκήπτοντο ἐν Ἴμβρῳ εἶναι. Ἱμείρω·
ἐπιθυμῶ. Ἱμερόεντα· λάμποντα. Ἵμερος· ἐπιθυμία. Ἱμερτός· καλός, ἐπέραστος, ποθει-
νός. Ἱμονιά· τὸ τοῦ ἀντλήματος σχοινίον, ἵνα ὅπερ Ἀντιφῶν ἐν τῷ περὶ τῆς ὁμονοίας
ἵνα ἐστὶν(?) ἔργον ὀκνεῖν. Ἱνᾶσθαι· καθαίρεσθαι, ἐκκενοῦσθαι, καὶ ὑπέρινος ὁ ὑπερκεκαθαρ-
μένος). Ἰνδάλλεται· καταφαίνεται, ὁμοιοῦται. Ἰνδάλματα· φαντάσματα, ὀνείρατα
ἅπερ μὴ παρόντα ὑπονοεῖ τις, ὁμοιώματα, ἀπεικονίσματα. Ἶνες· νεῦρα. (Γίννος ἐξ ἡμι-
όνου καὶ θηλείας ἵππου· πεντήκοντα ἔτη ζῇ ἡμίονος. ὁ δὲ γίννος ἐξ ἀμφοτέρων ἵππων
ἐν τῇ κυήσει νοσησάσης τῆς ἵππου οἷον γάννος(?). Ἰνύκιος οἶνος ἡδύς. Ἴνυκος δὲ πολισ-
μάτιον Σικελικόν, ἐν ᾧ γίνεται οἶνος κάλλιστος. Ἰξάλη· ἡ αἰγέα. ἐπεὶ ἰξάλαι αἱ αἶγες καὶ
ἴξαλος πηδητικός. Ἰξία ὁ παρ' ἐνίοις λεγόμενος κυρσός(?)· ἐστὶ δὲ αἷμα νενοσηκός, ἀνα-
βαθὲν ἀπὸ τῶν σφυρῶν ἐν αἷς συστροφαῖς ποιεῖ, ὅθεν ὁ ἰξὸς ἄρχεται. Ἰξὺς τὴν
ὀσφύν. Ἰοδόκη· βελοθήκη. Ἰὸν τὸ βέλος. Ἰόνιον πέλαγος, ὃ νῦν Ἀδρίας καὶ Ἰόνιος
κόλπος (τὸν γὰρ Ἀδρίαν ὠνόμαζον). Ἰόντες· πορευόμενοι. Ἴοντο· προεθυμοῦντο,
προηροῦντο. Ἰοῦ· σχετλιαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ οἴμοι. Ἴουλος ὁ ἐν τοῖς ἀμπέλοις
σκώληξ, πολύπουν δέ τι ζῷον, καὶ ἐξάνθημα τὸ ἐπὶ τῶν γενείων, καὶ τὸ ἐπὶ ταῖς καρύ-
αις ἄνθος, καὶ ᾠδῆς τι γένος ἴουλος, καὶ ὁ προσφιλὴς τῇ Ἀρτέμιδι. Ἔνιοι δὲ καὶ τὸν ἐπὶ
ταῖς ὑδρίαις γενόμενον πολύποδα καὶ συστρεφόμενον ἴουλον καλοῦσιν (ἴουλος δὲ
δασὺ ἐπίθετον τοῦ γένους καὶ ᾠδὴ εἰς Δήμητρα. τοὺς γὰρ ἐκ πολλῶν δραγμάτων δεσ-
μοὺς ἰούλους καλοῦσιν. Ἴουλος χνοῦς τριχῶν, ἤτοι ἡ πρώτη τῶν γενείων βλάστη. Ἰουλί-
ζων ὁ τοῦ γενειάδος ἀρχόμενος) Ἴουσαν· πορευομένην (Ἴπορος(?) πικρὸς περὶ τὰς
τιμωρίας. Ἱππαγρεταί· τρεῖς οὗτοι ἐγένοντο ἄρχοντες ἐν Σπάρτῃ. Ἱππάκη· ὀξυ-
κὸν βρῶμα ἐκ γάλακτος ἵππου σκευαζόμενον. Ἱππαλεκτρυών· γρὺψ διὰ τὸ τετράσκελον εἶναι, καὶ
πτέρυγας, καὶ ῥύγχος ἔχειν ἐπικαμπές. Ἔνιοι τὸν μέγαν ἀλεκτρυόνα· ἔνιοι παράσημα. Ἵππαρχοι
δύο ἦσαν οἱ τῶν ἱππέων ἡγοῦντο, διελόμενοι τὰς φυλὰς ἑκάτερος ἀνὰ πέντε. Ἐπιμεληταὶ δὲ
εἰσὶν τῶν ἱππέων, οἱ ταξίαρχοι δέκα ὄντες, ἑκάστης φυλῆς τῶν
ὁ τῶν ἵππων ἄρχων. Ἱππάς· Σόλων τοὺς νόμους Ἀθηναίοις γράψας, εἰς πέντε τέλη τὸ πᾶν πλῆθος αὐ- Ἵππαρχος
τῶν διέταξε κατὰ τὴν κατὰ τὰς οὐσίας τιμημάτων· καὶ τὸ πρῶτον ὠνόμαζε πεντακοσιομε-
δίμνων, τὸ δεύτερον ἱππέων, τὸ τρίτον ζευγιτῶν, τὸ τέταρτον θητῶν, τὸ πέμπτον ἱππὰς ἐκ-
καλεῖτο. Ἱππάς· Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς τέσσαρα διεῖλε τέλη
τὸ δὲ πλῆθος τῶν Ἀθηναίων εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, ζευγίτας καὶ θῆτας. τῶν
οὖν ἱππέων οἱ ἱππάδες. Ἵππαρχος τύραννος Ἐρετρίας. ἕτερος δὲ ἵππαρχος ὁ Πεισιστράτου. Ἄλλος
δὲ Ἵππαρχος ὁ Χάρμου, ὃς συγγενὴς ἦν Πεισιστράτου τοῦ τυράννου, καὶ πρῶτος νόμῳ τὸν ἐξοστρα-
κισμόν.

http://digital.slub-dresden.de/ppn346246385/22